# ΜΙΧΑΗΛ ΑΠΟΣΤΟΛΗ, ΛΟΓΟΣ ΠΕΡΙ ΕΛΛΑΔΟΣ ΚΑΙ ΕΥΡΩΠΗΣ

1. Ὁ Μιχαὴλ Ἀποστόλης δὲν ἐλησμονήθη μετὰ τὰς περὶ τὰ τέλη τοῦ παρελθόντος αἰῶνος διὰ τὴν ζωὴν καὶ τὸ ἔργον του μελέτας τῶν Legrand[1], Noiret[2], Ὑπερείδου[3] καὶ Δημητρακοπούλου[4], ἀλλ᾽ ἐγένετο ἀντικείμενον τῶν ἐρευνῶν τοῦ ἀειμν. Σπυρ. Λάμπρου[5], ἐβιογραφήθη δ᾽ ὑπὸ τῶν ἡμετέρων Ἠλία Βουτιερίδη[6] καὶ Δ. Κ. Μάργαρη[7], μάλιστα ἤρχισε καὶ πάλιν ἐπ᾽ ἐσχάτων νὰ ἀποτελῇ θέμα μελετῶν. Οὕτω κατὰ τὰ τελευταῖα αὐτὰ ἔτη ὁ Enoch Powell ἠσχολήθη μὲ τὴν συμβολήν του εἰς τὴν παράδοσιν τοῦ κειμένου τοῦ Θουκυδίδου[8], ὁ Mohler ἐδημοσίευσεν ἐπίκρισιν τῶν ἰδεῶν του περὶ Πλάτωνος καὶ Ἀριστοτέλους ὑπὸ τοῦ Ἀνδρονίκου Καλλίστου[9] καθὼς καὶ ἀπευθυνομένας πρὸς αὐτὸν ἐπιστολὰς τοῦ Βησσαρίωνος[10], ὁ Cammelli περιέγραψε συνοπτικῶς τὴν συμμετοχήν του εἰς τὰς περὶ Πλάτωνος καὶ Ἀριστοτέλους διενέξεις[11], ὁ Ν. Β. Τωμαδάκης ἐξήτασε τὴν σχέσιν αὐτοῦ πρὸς τὸν Γ. Ἀμιρούτζην[12], ὁ δὲ σεβαστός μου καθηγητὴς κ. Φαίδων Κουκουλὲς ἐτόνι-

---

[1] Legrand E., Bibliographie Hellénique I, 1885, LVIII - LXX καὶ II, 1885, 233 - 259.

[2] Noiret H., Lettres inédites de Michel Apostolis, Paris, 1889.

[3] Ὑπερείδου Γ.Κ., Μιχαήλου Ἀποστόλη πονήματα τρία, Σμύρνη, 1876.

[4] Δημητρακοπούλου Ἀ., Ἐθνικὸν Ἡμερολόγιον Βρεττοῦ, 1870, 359 - 367.

[5] Λάμπρου Σ., Ἀνέκδοτος ἐπιστολὴ τοῦ Βησσαρίωνος, ΝΕ, 6, 1909, 393 - 398 (Ἐπιστολὴ πρὸς Ἀποστόλην ἐκ τοῦ Cod. Marc. Gr. 527 f. 240 - 244v). Τοῦ αὐτοῦ, Ἀργυροπούλεια, Ἐν Ἀθήναις 1910, 227 - 231 (καὶ 216 - 218).

[6] Βουτιερίδη Ἠλία Π., Ἱστορία τῆς Νεοελληνικῆς Λογοτεχνίας, Ἀθῆναι (1924), 221 - 224.

[7] Ἄρθρον ἐν λέξει, ΜΕΕ 5, 1928, 234α - 235α.

[8] Powell Enoch, The cretan manuscripts of Thucidides. Classical Quarterly 32, 1938, 103 - 108. Ἐπίσης τοῦ ἰδίου, Michael Apostolios gegen Theodoros Gaza. Byzantinische Zeitschrift 38, 1938, 71 - 86.

[9] Mohler L., Kardinal Bessarion als Theologe, Humanist und Staatsmann III, Paderborn 1942, 170 - 203.

[10] Ἔνθ᾽ ἀν. 478 - 484. Πρβλ. καὶ 159 - 169.

[11] Cammelli Giuseppe, I dotti bizantini e le origini dell'umanesimo. Andronico Callisto, Firenze 1942.

[12] Τωμαδάκη Ν. Β., Ἐτούρκευσεν ὁ Γεώργιος Ἀμιρούτζης; ΕΕΒΣ 18, 1948, ἰδίᾳ ἐν σ. 130 - 131.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/10/2023 13:15:24 EEST - 167.114.118.212

σεν ἰδιαιτέρως τὴν σημασίαν τὴν ὁποίαν ἔχει ἡ μελέτη τοῦ ἔργου του διὰ τὴν γνῶσιν τῆς ζωῆς ἐν Κρήτῃ κατὰ τὸ δεύτερον ἥμισυ τοῦ δεκάτου πέμπτου αἰῶνος[1]. Αἱ συμβολαὶ αὗται ἀποδεικνύουν ὅτι ἡ δρᾶσις τοῦ Μιχαὴλ Ἀποστόλη ὡς κλασσικοῦ φιλολόγου, ὡς παράγοντος σημαντικοῦ εἰς τὰς ἐκκλησιαστικὰς συζητήσεις τοῦ δεκάτου πέμπτου αἰῶνος καὶ ὡς φορέως τῆς βυζαντινῆς παραδόσεως μετὰ τὴν πτῶσιν τῆς Κωνσταντινουπόλεως εἰς τὴν βενετοκρατουμένην Κρήτην, ἀποτελεῖ θέμα ἐξόχως ἐνδιαφέρον.

2. Ἐν ὄψει τοῦ ἀναζωογονηθέντος ἐνδιαφέροντος διὰ τὸν πολυμερῆ αὐτὸν λόγιον εἶναι ἀνάγκη νὰ τονισθῇ ὅτι ἡ ἔκδοσις ὅλων τῶν παραμενόντων ἀνεκδότων εἰσέτι ἔργων του προέχει πάσης τελικῆς κρίσεως περὶ τῆς πνευματικῆς καὶ ἠθικῆς του προσωπικότητος. Προτοῦ ἐκδοθοῦν τὰ εἰς τὰς βιβλιοθήκας τοῦ Escorial[2], τῶν Παρισίων[3] καὶ τοῦ Βατικανοῦ[4] ἀποκείμενα ἐν αὐτογράφοις ἔργα του, πᾶσα κρίσις, ὡς στηριζομένη ἐπὶ ἀτελοῦς ὑλικοῦ, θὰ εἶναι κατ' ἀνάγκην ἐπισφαλής.

Τὸ ἐκδιδόμενον ἐνταῦθα ἐξ αὐτογράφου κείμενον, παρουσιάζει ἐνδιαφέρον καὶ κατὰ τὰς δύο ὄψεις ὑπὸ τὰς ὁποίας προεβλήθη εἰς τὴν πνευματικὴν ζωὴν τῆς ἐποχῆς του ὁ Μιχαὴλ Ἀποστόλης, τὴν τοῦ μελετητοῦ τῶν ἀνθρωπιστικῶν γραμμάτων καὶ τὴν τοῦ ἀναμιχθέντος εἰς τὰς μεταξὺ Ὀρθοδόξου καὶ Καθολικῆς Ἐκκλησίας ἀντιδικίας.

Ὅπως προκύπτει ἀπὸ τὴν τελευταίαν παράγραφον, ἐγράφη μετὰ τὴν πτῶσιν τῆς Κωνσταντινουπόλεως[5] καὶ ἔξω ἀπὸ τὰς ὑπὸ τῶν Ὀθωμανῶν κατεχομένας περιοχάς· ἐπειδὴ δὲ ἀποτελεῖ ἐπίκρισιν τῆς πνευματικῆς ζωῆς ἐν Ἰταλίᾳ, εἶναι προφανὲς ὅτι δὲν ἐγράφη οὔτε ἐκεῖ, ὅπου ἄλλωστε ὁ Μιχαὴλ Ἀποστόλης παρέμεινεν ἐπ' ὀλίγον μόνον διάστημα.

Ἡ ἐπίκρισις τῶν Ὀθωμανῶν καὶ τῶν Λατίνων προϋποθέτει περιοχὴν Ἑλληνικὴν—καὶ ὡς τοιαύτη εἶναι πιθανωτέρα ἡ Κρήτη—ὅπου ὁ Μιχαὴλ Ἀποστόλης εἶχεν ἐγκατασταθῇ μονίμως καὶ ὅπου ἡ παρουσία τῶν Βενετῶν δὲν ἀπετέλει ἐμπόδιον διὰ τὴν ἀνάπτυξιν τῶν διατυπουμένων εἰς τὸ κείμενον αὐτὸ ἰδεῶν.

Τὸ ἔργον ἀποτελεῖ ἀπάντησιν εἰς ὁμιλίαν ἀγνώστου εἰς ἡμᾶς, προφα-

---

[1] Κουκουλὲ Φαίδωνος, Βιβλιοκρισία, Κρητικὰ Χρονικὰ Β', 1948, 376.

[2] Revilla A.P., Catálogo de los códices griegos de la biblioteca de el Escorial, Madrid 1936, 272 (cod. 78).

[3] Omont H., Inventaire sommaire des manuscrits grecs, II, Paris 1888, 134 (cod. 1744 καὶ 1760).

[4] Codices manuscripti Palatini Græci bibliothecæ Vaticanæ, Romæ 1885, 151 (cod. 275).

[5] Πρβλ. *«Τοῦ ἡγεμόνος τῶν Οὔννων πᾶσαν τὴν Ἑλλάδα καταδαρδάψαντος καὶ νῦν ἐπιχειροῦντος ἤδη καὶ τῇ Εὐρώπῃ»*.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/10/2023 13:15:24 EEST - 167.114.118.212

νῶς ὅμως ἐκκλησιαστικοῦ ῥήτορος[1], ἐπαινέσαντος τοὺς λογίους τῆς Δύσεως διὰ τὴν συμβολήν των εἰς τὴν φιλοσοφίαν καὶ θεολογίαν, ἰδιαιτέρως δὲ δι' ὅσα ἀνέπτυξαν ὅσον ἀφορᾷ εἰς τὸ περὶ τῆς γεννήσεως τοῦ Υἱοῦ καὶ τῆς ἐκπορεύσεως τοῦ Ἁγίου Πνεύματος θέμα. Ἡ διαφωνία τοῦ Μιχαὴλ Ἀποστόλη πρὸς τὰς ἀπόψεις τοῦ ὁμιλητοῦ ἀναπτύσσεται πρῶτον ἐπὶ τοῦ θεολογικοῦ θέματος καὶ κατόπιν ἐπὶ τῆς ἄλλης πνευματικῆς δημιουργίας τῶν «*Ἑσπερίων*» καὶ τῶν «*Ἑῴων*».

3. Ἡ ἑρμηνεία καὶ κριτικὴ τῶν εἰς τὸ κείμενον αὐτὸ ἀναπτυσσομένων θεολογικῶν ἀπόψεων ἀνήκει εἰς τὴν ἁρμοδιότητα ἄλλων. Ἐδῶ εἶναι ἀρκετὸν νὰ λεχθῇ, ὅτι, μέχρι τοῦδε τοὐλάχιστον, ἡ θέσις τοῦ Μιχαὴλ Ἀποστόλη εἰς τὸ ἐπίμαχον ζήτημα τῶν δογματικῶν διαφορῶν τῶν δύο ἐκκλησιῶν καὶ τῶν παρὰ τὰς δογματικὰς αὐτὰς διαφορὰς προσπαθειῶν πρὸς ἕνωσιν δὲν ἔχει ἀκόμη διαλευκανθῇ· διότι, ἐνῷ κατ' ἀρχὰς ἦτο κατὰ τῆς Καθολικῆς Ἐκκλησίας[2], ἀργότερον ἐνεφανίσθη ὑπέρμαχος τῆς ἑνώσεως, ὑποστὰς μάλιστα, λόγῳ τῶν ἰδεῶν του αὐτῶν, καὶ τὴν περιπέτειαν τὴν ὁποίαν διηγεῖται ὁ ἴδιος εἰς ἐπιστολάς του[3].

Ἐκ τῶν μέχρι τοῦδε στοιχείων, τὴν ἀξίαν ὅμως τῶν ὁποίων θὰ ἐλέγξῃ ὁριστικῶς ἡ ἔκδοσις τῶν ὑπολοίπων ἔργων του, φαίνεται ὅτι ἡ ὑπὲρ τῆς ἑνώσεως συνηγορία του δὲν ἐσήμαινε δογματικὴν προσχώρησιν εἰς τὰς ἀπόψεις τῶν καθολικῶν, ἀλλ' ἁπλῶς ἀναγκαίαν πολιτικήν, λόγῳ τοῦ κινδύνου ἐκ τῆς παρουσίας τῶν Ὀθωμανῶν. Τοῦτο ἐνισχύεται, νομίζω, καὶ ἀπὸ τὸ περιεχόμενον τοῦ ἐνταῦθα ἐκδιδομένου λόγου.

4. Εἰς τὴν τελευταίαν παράγραφον τοῦ κειμένου ὑπάρχουν ἐνδιαφέρουσαι ἀπὸ ἐθνικῆς καὶ ἀνθρωπιστικῆς ἐπόψεως παρατηρήσεις: Οἱ Ἕλληνες τῆς ἐποχῆς του, μολονότι εἶναι «*τὰ λείψανα τῶν Ἑλλήνων*» τοῦ παρελθόντος, διδάσκουν εἰς τὴν Δύσιν ὄχι μόνον τὰ Ἑλληνικὰ ἀλλὰ καὶ τὰ Ρωμαϊκὰ γράμματα, ἐνῷ ἀντιθέτως οὐδεὶς «*Ἑσπέριος*» ἐδίδαξε ποτὲ εἰς τὴν Ἑλλάδα τὰ Ἑλληνικά. Τὸ θέμα εἶναι τὸ ἴδιον μὲ τὸ «*Μιχαήλου τοῦ Ἀποστόλη, Λόγος παραινετικὸς ἐκ Γορτύνης εἰς Ἰταλίας Ρώμην*»[4] μὲ τὴν διαφορὰν ὅτι ἐδῶ εἶναι ἀπρόσωπος διαπίστωσις καὶ ὄχι ἔκκλησις προσωπική. Πάντως εἰς ἀμφότερα τὰ κείμενα ὁ ὁμιλῶν δὲν ἐμφανίζεται ὡς καλὸς κωδικογράφος ἁπλῶς, ἀλλ' ἐπὶ πλέον ὡς φορεὺς τῆς Ἑλληνικῆς ἀνθρωπιστικῆς παραδόσεως εἰς τὴν ἐπὶ τῆς ὁδοῦ πρὸς τὴν Ἀναγέννησιν πορευομένην Δύσιν.

Ὁ Μιχαὴλ Ἀποστόλης ἐπανειλημμένως εἰργάσθη διὰ τοὺς «Ἑσπερίους»,

---

[1] Δὲν ἠδυνήθην νὰ προσδιορίσω τὴν σχέσιν τοῦ ὁμιλητοῦ τὸν ὁποῖον κρίνει ὁ Μιχαὴλ Ἀποστόλης μὲ τὸν εἰς τὸ κείμενον ἀναφερόμενον «*πορθμέα*».

[2] Legrand, Ἔνθ' ἀν. I, LVIII.

[3] Legrand, Ἔνθ' ἀν. II 251 καὶ Noiret, Ἔνθ' ἀν. 88 καὶ 101.

[4] Noiret, Ἔνθ' ἀν. 148 - 153.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/10/2023 13:15:24 EEST - 167.114.118.212

ἐπανειλημμένως ἐπεκαλέσθη τὴν βοήθειάν των διὰ νὰ ἀντιμετωπίσῃ τὰς δυσχερείας τῆς ζωῆς, εἰς θέμα δὲ ὑψίστης σημασίας, ὅπως ἦτο τὸ ζήτημα τῆς ἑνώσεως τῶν δύο ἐκκλησιῶν, ἀπηρνήθη ἐμπράκτως ὅσα θεωρητικῶς ἐδίδαξεν. Ἀλλά, ὅπως προκύπτει καὶ ἀπὸ τὴν φιλολογικὴν ἐργασίαν του καὶ ἀπὸ τὸ ἐνταῦθα ἐκδιδόμενον κείμενον, αἱ δυσχέρειαι καὶ αἱ ταλαιπωρίαι τῆς ζωῆς του δὲν ἐκλόνισαν τὴν πίστιν του εἰς τὴν ὑπεροχὴν τῶν «*Ἑῴων*» ἔναντι τῶν «*Ἑσπερίων*». Ἀπὸ τὴν ἄποψιν αὐτήν, τοῦ ἀνθρωπιστοῦ, τοῦ Χριστιανοῦ καὶ τοῦ πατριώτου, ὁ Μιχαὴλ Ἀποστόλης ἀποτελεῖ μίαν ἐπὶ πλέον ὡραίαν περίπτωσιν εἰς τὴν μακρὰν παράδοσιν τῶν Ἑλλήνων φιλολόγων[1].

Ἡ ἔκδοσις τοῦ κειμένου ἐνταῦθα, γενομένη ἐκ τοῦ αὐτογράφου τοῦ Μιχαὴλ Ἀποστόλη, τοῦ ἐν τῷ cod. Baroccianus Græcus 76 f. 63r-68r, παρέχει τὸ κείμενον ὅπως εἶναι εἰς τὸ χειρόγραφον, μὲ δύο μόνον διαφοράς: Προσήρμοσα τὴν στίξιν εἰς τὴν σημερινήν μας ἀντίληψιν καὶ μετέγραψα τὰ κύρια ὀνόματα μὲ κεφαλαῖον τὸ πρῶτον γράμμα.

ΒΑΣ. ΛΑΟΥΡΔΑΣ

1. Ἐπ' εὐκαιρίᾳ τῆς ἐκδόσεως τοῦ ἀκολουθοῦντος κειμένου, σκόπιμον εἶναι νὰ γίνῃ ἐπανόρθωσις μικρᾶς ἀβλεψίας εἰς Τωμαδάκη Ν. Β., Ὁ Ἰωσὴφ Βρυέννιος καὶ ἡ Κρήτη κατὰ τὸ 1400, Ἀθῆναι 1947, 111, σημ. 5. Δὲν εἶναι ὁ Μιχαὴλ Ἀποστόλης ὅστις ἀφωρίσθη ὑπὸ τοῦ Οἰκουμενικοῦ Πατριαρχείου, ἀλλὰ ὁ Ἀρσένιος Ἀποστόλης. Τὸ κείμενον εἰς Λάμπρου Σπ., Ὁ κατ' Ἀρσενίου τοῦ Ἀποστόλη ἀφορισμὸς τοῦ Πατριάρχου Παχωμίου Α', ΝΕ, 3, 56-58.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/10/2023 13:15:24 EEST - 167.114.118.212

***Μιχαήλου Ἀποστόλη τοῦ Βυζαντίου, λόγος πρὸς τοὺς διισχυρισαμένους τῶν Ἀνατολικῶν εἶναι τοὺς Ἑσπερίους κρείττους τὰ ἐς πᾶσαν φιλοσοφίαν καὶ δῆθεν κάλλιστα εἰπόντας περὶ τοῦ τρόπου τῆς πρώτης γεννήσεως τοῦ Χ(ριστο)ῦ καὶ τῆς τοῦ ἁγίου πν(εύματο)ς ἐκπορεύσεως.***

*1. Ἐν τῇ ἐκκλησίᾳ διισχυρίσω τὴν ἑορτὴν τῶν Θεοφανίων τοὺς Εὐρωπαίους τῶν ἐξ Ἀσίας λεπτοτέρους τυγχάνειν τὰ ἐς πᾶσαν φιλοσοφίαν καὶ δῆθεν περί τε τοῦ τρόπου τῆς γεννήσεως τοῦ υἱοῦ καὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως ἐκείνων ἄμεινον ἀποφαινομένους καὶ περὶ τῶν ἐς πᾶσαν ἁπλῶς τὴν ἔνδον θεολογίαν. Ἐγὼ δ' εἰδὼς ἀκριβῶς μηδένα τῶν θεολόγων τῶν ἐξ ἀνίσχοντος τοῦ ἡλίου, ὅτι μὴ αἱρετικῶν, τολμησάντων φάναι μηδ' ὁτιοῦν περὶ τῆς τοιαύτης γε ὑποθέσεως, ᾤμην σε κομψεύεσθαι, μὰ τοὺς λόγους καὶ τοὺς ἱδρῶτας αὐτῶν. Ἐπεὶ δὲ κατ' ἐκείνην τὴν ἡμέραν αὐτήν, μετά γε τὸ βουλυτόν, ἀπῄει μέν που καὶ τὸ σῶμα ψυχαγωγῆσαι, κεκακωμένον τοῖς πόνοις τοῦ τε γράφειν καὶ τοῦ διδάσκειν, καὶ ἀκηκόαμεν του ἀνδρός, εὖ τε ἔχοντος λόγων καὶ οὐχ οἷόν τε ψεύδεσθαι, καὶ τὸν νῦν ἐπ' ἐκκλη|σίας διδάσκαλον* 63v *τὰ αὐτά σοι διισχυρίζεσθαι, ἐθαύμασα καὶ σοῦ καὶ Σκότου καὶ τουτουΐ, πρῶτον μὲν ὅτι ἐναντία εἰπάτην, συνηγοροῦντε τῷ Σκότῳ, δυοῖν ἁγίοιν καὶ φιλοσόφοιν, παρίημι τὸ νῦν ἔχον τῶν ἄλλων τὸν δῆμον διὰ τὸ μῆκος τοῦ λόγου, Γρηγορίῳ τῷ Θεολόγῳ καὶ Βασιλείῳ τῷ Θεοφάντορι, τῷ μὲν ἐν τῷ λόγῳ οὕτω πεφιλημένως εἰπόντι τῷ «Ἐς τὰ Ἅγια Θεοφάνια» :* **«Χ(ριστο)ῦ γέννησις, ἡ μὲν οἰκεία καὶ πρώτη καὶ ἰδία αὐτοῦ τῆς θεότητος σιωπῇ τιμάσθω, μᾶλλον δὲ ταῖς ἐννοίαις ἡμῶν μὴ ζητεῖν ἐκεῖνα μηδὲ πολυπραγμονεῖν ἐπιτάξωμεν. Ὅπου γὰρ οὐ χρόνος, οὐκ αἰὼν ἐμεσίτευσεν, οὐ τρόπος ἐπινενόηται, οὐ θεατὴς παρῆν, οὐχ ὁ διηγούμενός ἐστι, πῶς φαντασθῇ ὁ νοῦς, πῶς δ' ὑπηρετήσει τῇ διανοίᾳ ἡ γλῶσσα ; Ἀλλὰ π(ατὴ)ρ ἦν καὶ υἱὸς ἐγεννήθη· μὴ εἴπῃς, πότε ; ἀλλὰ παράδραμε τὸ ἐρώτημα· μὴ ἐπιζητήσῃς πῶς, ἀδύνατος ἡ ἀπόκρισις· τὸ μὲν γὰρ πότε, χρονικόν, τὸ δὲ πῶς, ὄλισθον ἐμποιεῖ πρὸς τοὺς σωματικοὺς τῆς γεννήσεως τρόπους»,** *τῷ δὲ ἐν τῷ «Περὶ υἱοῦ» πρώτῳ λόγῳ ἐκεινωσὶ λέγοντι :* **«Θεοῦ γέννησις, σιωπῇ τιμάσθω· μέγα σοι τὸ μαθεῖν ὅτι γεγένηται, τὸ δὲ πῶς οὐδὲ ἀγγέλοις ἐννοεῖν, μὴ ὅτι γε σοὶ νοεῖν συγχωρή|σωμεν· βούλει παραστήσω τὸ πῶς ; ὡς οἶδεν** 64r **ὁ γεννήσας π(ατὴ)ρ καὶ ὁ γεννηθεὶς υἱός, τὸ δὲ ὑπὲρ ταῦτα νέφει**

---

*Codex Baroccianus 76, f. 63r.*
*22. S. Basilii, Homilia in s. christi gener. & 1 (Migne 31, 1457)*
*31. S. Gregorii Naz., Oratio XXIX, H, C (Migne 36, 84)*

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/10/2023 13:15:24 EEST - 167.114.118.212

**κρύπτεται, τὴν σὴν διαφεῦγον ἀμβλυωπίαν».** *Καὶ ὁ δ' αὐτὸς οὗτος πάλιν ἐν τῷ «Περὶ τοῦ πνεύματος» λόγῳ:* **«Εἰπὲ σὺ τὴν ἀγεννησίαν τοῦ πατρὸς κἀγὼ τὴν γέννησιν τοῦ υἱοῦ φυσιολογήσω καὶ τὴν ἐκπόρευσιν τοῦ π(νεύματο)ς καὶ παραπληκτίσωμεν ἄμφω εἰς Θεοῦ μυστήρια παρακύπτοντες καὶ ταῦτα τίνες; οἱ μηδὲ τὰ ἐν ποσὶν εἰδέναι δυνάμενοι, μηδὲ ψάμμον θαλασσῶν καὶ σταγόνας ὑετοῦ καὶ ἡμέρας αἰῶνος ἐξαριθμεῖσθαι, μὴ ὅτι γε Θ(εο)ῦ βάθεσιν ἐμβατεύειν καὶ λόγον ὑπέχειν τῆς οὕτω ἀρρήτου καὶ ὑπὲρ λόγον φύσεως».** *Ἀκούετε τοῖν ἁγίοιν πατέροιν, τί φατὸν περὶ τοῦ τρόπου τῆς γεννήσεως τοῦ υἱοῦ καὶ Θ(εο)ῦ; ἀκούετε καὶ πῶς τιμᾶτον τοὺς ἐπιζητοῦντας αὐτοῦ τῶν μυστηρίων τοὺς τρόπους; οὐδὲ τῇ γνώμῃ γοῦν τοῦ Κάτωνος πείθεσθε, τοῦ σοφοῦ τε καὶ Εὐρωπαίου, ἐκεινωσὶ παραινοῦντος τοῖς Ἑσπερίοις:* **«Λεῖπε Θεοῦ μυστήρια καὶ πόλον, ὅστις ἐρευνᾶν· θνητὸς ἐὼν γὰρ καὶ περὶ θνητῶν ἔσο μεριμνῶν».** *Καὶ ταῦτα μὲν ὑμῖν ἱκανὰ πρὸς ἔλεγχον καὶ ἀπόδειξιν τοῦ μὴ τολμᾶν ἐπιχειρεῖν*
64v *τοῖς ἀνεφίκτοις καὶ ὑπὲρ δύναμιν, μὴ ὅτι ἀν(θρώπ)ων τῶν γηΐνων | καὶ χαμερπῶν, ἀλλὰ καὶ τῶν οὐρανίων νόων τε καὶ δυνάμεων.*

*2. Ἐπεὶ δὲ καί τισιν ἐχρήσατο λόγοις, οὐδὲ ἀποδεικτικοῖς οὐδὲ τούτοις, πῶς γὰρ ἂν ἀποδειχθείη ἀποδείξει τὸ ἀναπόδεικτον, ἀλλ' ἀξιωματικοῖς καὶ σφετέροις, περὶ τοῦ ὅτι κακείνοις μακρολογοῦσι καὶ τοῦ ἐξ ἀρχῆς ζητουμένου μᾶλλον δ' ἐς ἀθέμιτα ἀποκλίνουσι, τίς ὢν τίνων περί, καὶ πρὸς τάδε ἀπαντητέον ἡμῖν, μετρίοις γε οὖσι τὰ ἐς λόγους τε καὶ σοφίαν καὶ μὴ παρ' ὃ δεῖ ὑψηλοφρονοῦσιν, ὡς οἱ πολλοί. Εἶπεν ὁ διδάσκων, ὡς ἀκήκοα τοῦ πορθμέως, τρισὶν αἰτίοις δείκνυσθαι τὸν τρόπον τῆς γεννήσεως τοῦ Θεοῦ καὶ τοῦτό ἐστιν ἀπερίσκεπτον ἢ κακῶς περιεσκεμμένον. Ὁ γὰρ Ἀριστοτέλης φησὶν ἐν τοῖς «Φυσικοῖς» ἅπαν γεννητὸν τέσσαρσιν αἰτίοις γίνεσθαι πεφυκέναι, ποιητικῷ αἰτίῳ πρώτως, εἰδικῷ ἑπομένως, ὑλικῷ ἀκολούθως, τελικῷ ἐφεξῆς. Ὁ δὲ σοφώτατος Πλάτων καὶ παραδειγματικῷ καὶ ὀργανικῷ, εἴτ' αὐτὸς πρῶτος τοῦθ' εὑρὼν ἢ παρ' ἄλλου πρώτου ἐξευρημένῳ χρησάμενος. Εἰ τοίνυν κατὰ τὸν τρόπον τῶν γεννητῶν ἐστι καὶ ἡ τοῦ Θεοῦ γέννησις, τί οὐ χρῆται πᾶσί γε τοῖς αἰτίοις κἀπὶ τῇ τούτου γεννήσει; Εἰ δ' ἄλλος μὲν*
65r *τρόπος τῶν | γεννητῶν, ἄλλος δὲ τῆς γεννήσεως τοῦ υἱοῦ, ἄρρητός τε καὶ ἀναπόδεικτος ὡς εἰκός, τί τὰ μὲν τῶν αἰτίων παρῆκε, τοῖς δὲ ἐχρήσατο; Ἢ γὰρ ἂν πᾶσιν ἢ οὐδέσιν ἐχρῆν· καὶ ταῦτ' ἐκείνοις καὶ οὑτωσὶν οἷς Ἀρειός τε χρησαμένω καὶ Ὠριγένης τὸν υἱὸν ἀπεφηνάσθην, καὶ μάλα κακῶς, ποίημα καὶ κτίσμα καὶ ποιητόν. Ἃ δ' εἴρηκεν ἡμῖν ὁ πορθμεὺς εἰπεῖν τὸν ἄνδρα*

---

2. *S. Gregorii Naz. Oratio XXXI, H, B (Migne 36, 141).*
12. *Catonis apophthegmata II, 2 (Chase, the distichs of Cato 1922, 24).*
25. *Aristot. Phys. 198a. 27. Platonis, Tim. 28b sq.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/10/2023 13:15:24 EEST - 167.114.118.212

*ἐν τῷ σταδίῳ, οὑτωσί που τῷ λόγῳ καὶ τῇ λέξει διάκειται, ἔφη, χρησάμενον τρισὶν αἰτίοις εἰπεῖν, τὸν τρόπον ἀποφήνασθαι βουληθῆναι τῆς πρώτης γεννήσεως τοῦ Χ(ριστο)ῦ, ποιητικῷ αἰτίῳ πρῶτον, τῷ π(ατ)ρὶ δηλαδή, δεύτερον ὑλικῷ, τῷ νῷ, οὐκ οἶδα ποίῳ γε νῷ, ἢ τῷ τοῦ παντὸς ἢ τῷ θύραθεν ἢ ὃν νοῦν οἱ θεολόγοι φασί, καὶ τρίτον τῷ εἰδικῷ, τῷ λόγῳ δηλονότι, ὡς ἔφησε, τοῦ γεννήτορος· ὅτι δ' ἕπεται δῆθεν, ἄτοπον οἷον καὶ ὅσον, δῆλον ἐκεῖθεν: ὁ τῶν φώτων π(ατ)ὴρ καὶ πάντων παραγωγὸς λέγεται ποιητὴς καὶ ποιητικὸν αἴτιον πάντων αἰσθητῶν καὶ νοητῶν, εἴτ' οὖν ὁρατῶν τε καὶ ἀοράτων· τοῦ δὲ υἱοῦ οὔτε ποιητής, οὔτ' αὖ ποιητικὸν αἴτιον· ἢ γὰρ ἂν ἀνατραπείη τὸ ἀναγκαιότατον δόγμα τῇ ἐκκλησίᾳ καὶ κάλλιστον, ὑπὲρ οὗ πολλὰ μογήσασα καὶ καμοῦσα ἀπεώσατο μὲν τοὺς τ' ἀναντία σφίσιν εἰπόντας, ξυνε|στήσαντο δὲ* 65v *αὐτὸ καὶ μάλα πᾶσι τρανῶς, θείᾳ δυνάμει καὶ σοφίᾳ τῇ ἑαυτῶν. Ποῖον δὴ τοῦτο; τὸ μὴ ποιηθέντα λέγον τὸν υἱόν, ἀλλὰ γεννηθέντα, οὐ δι' ἄλλο τι τοῦτο φαμένων τῶν θείων ἐκείνων καὶ μεγίστων ἀνδρῶν ἢ ἵνα μὴ ὁ υἱὸς νομισθείη κτίσμα καὶ ὑπὸ χρόνον, τοῦθ' ὅπερ ἐβούλοντο ὁ Ἄρειος καὶ οἱ μετ' αὐτοῦ, ὡς ἄρα μὴ συνάδει τῇ ἐκκλησίᾳ, ἀλλὰ ποιητὴν φησὶ καὶ ποιητικὸν αἴτιον τοῦ υἱοῦ τὸν π(ατέ)ρα, ξένα μὲν τοῖς ἁγίοις, συνῳδὰ δὲ φθέγγεται τῷ Ἀρείῳ καὶ τοῖς ὁμόφροσιν. Ἔτι ἅπαν ποιητικὸν διαφέρει τοῦ ποιητοῦ τιμῇ, τάξει, φύσει καὶ χρόνῳ, ὁ δὲ π(ατ)ὴρ ποιητικὸν αἴτιον, κατά γέ σε, τοῦ υἱοῦ· διαφέρων ἄρα ἐστὶ τοῦ υἱοῦ τοῖσδε πᾶσι· τοῦτο δ' ὅσην ἔχει τὴν κάκην, ὁ ὅρος τῶν πατέρων συμμαρτυρεῖ μοι· ἀλλ' ὅτι μὲν ἄτοπόν τε καὶ ἀγεννές, τοιούτοις αἰτίοις καὶ ῥήμασι χρῆσθαι περὶ τῆς πρώτης γεννήσεως τοῦ Χ(ριστο)ῦ, δῆλον ἐγένετο τοῖς ἁγίοις καὶ τοῖς ἐμοῖς λογαρίοις· τὸ μέντοι γεννήτορα εἶναι καὶ αἴτιον τοῦ υἱοῦ τὸν π(ατέρ)α τοῦ γεννητοῦ, θεμιτῶς τε ἡμῖν ἐλήφθη καὶ οὐκ ἀθέει τοῖς π(ατ)ρᾶσιν ἀπεκαλύφθη, θεοειδέσι τε γενομένοις καὶ τέως οἷον θεοῖς. Ταύτῃ τοι καὶ ὁ θεῖος Ἰωάννης ὁ Δαμασκόθεν τὼ ὀνόματε τούτω ἐθέσπισεν, ἐπὶ μὲν τοῦ π(ατ)ρὸς μόνον | καὶ τοῦ υἱοῦ γράφεσθαι διὰ δύο νν, δι' ὑπεροχήν, ἐπὶ δ' ἄλλης οὐσίας ἡστι-* 66r *νοσοῦν δι' ἑνός, τῶν οὐσιῶν τὸ μέσον οὕτως ἐνσημαινόμενος.*

*3. Περὶ μὲν δὴ τοῦ τὸν π(ατέρ)α δεῖν εἶναι ποιητικὸν αἴτιον τῆς γεννήσεως τοῦ υἱοῦ ἢ μὴ εἶναι, ἐς τοσόνδε καὶ οὐ πορρότερον· περὶ δὲ τοῦ εἶναι λέγειν τὸν νοῦν τῆς αὐτῆς ταύτης γεννήσεως ὑλικὸν αἴτιον τοῦ υἱοῦ, σκεπτέον ὡδί: τοῦ νοῦ τριχῶς λεγομένου κατὰ τὴν κοινὴν ἔννοιαν τῶν ἀν(θρώπ)ων, τοῦ ἐν τῷ παντὶ τῷδε τοῦ θύραθέν τε καὶ ἐν ἡμῖν καὶ ὃν ἡμεῖς φαμὲν αἰτίαν καὶ Θ(εὸ)ν καὶ π(ατέρ)α, τίς τούτων ἁρμόσειεν ἂν ὑλικὸν αἴτιον ληφθῆναι ἐπὶ τῆς πρώτης γεννήσεως τοῦ Χ(ριστο)ῦ; Εἰ μὲν ὃν καὶ Θεὸν καὶ π(ατέ)ρα φαμὲν ἔσται ὁ αὐτὸς ποιητικὸν αἴτιόν τε καὶ ὑλικόν, τοῦτο δ' ὅτι ἀξύμβλητον*

---

27. S. Johannis Damasceni, de fide orthodoxa II, XXX (Migne 94, 977).



Institutional Repository - Library & Information Centre - University of Thessaly
17/10/2023 13:15:24 EEST - 167.114.118.212

*καὶ ὑπὲρ ψιλὴν ἐπίνοιαν πᾶσαν καὶ μηδὲ συστῆναι δυνάμενον, δῆλαδή που
καὶ τῷ τυφλῷ· εἰ δ' ὁ τοῦ παντός πως χρονικὸς ἀχρόνῳ γενήσεται αἴτιον
καὶ ταῦτά γε ὑλικόν, νοῦς ὢν καὶ μεταβληθεὶς ὑπὸ σοῦ τῷ ὀνόματι, τὸν νοῦν
ὕλην μετονομάσαντος, τῆς ὕλης οὔσης χεῖρον τῶν ὄντων καὶ διὰ τοῦτο μετού-
σιον ῥηθείσης τοῖς φιλοσόφοις, ὡς ὑποκάτω γε οὔσης τοῦ ὄντος καὶ παντὸς
66v ὄντος οὑτινοσοῦν, σιωπῇ τιμάσθω ὁ θύραθεν, μᾶλλον | δ' ἐνκεκαλύφθω. Εἰ
γὰρ τὼ τιμιωτάτω οὐκ ἐγχωρεῖτον, πολλῷ γε μᾶλλον τὸ τελευταῖον καὶ ἔσχα-
τον ἔτι, τὸ ὑλικὸν αἴτιον περὶ τὰ φυσικὰ καὶ τὴν φυσικὴν γέννησιν, ἡ δὲ
τοῦ υἱοῦ γέννησις ὑπὲρ ταῦτα. Περιττὸν ἄρα φυσικοῖς αἰτίοις χρῆσθαι ἐν τῇ
ὑπὲρ πᾶσαν φύσιν καὶ πᾶσαν ἐπιστήμην καὶ πάντα λόγον γεννήσει. Ἔτι
οὐδὲ μία ἐπιστήμη περὶ τῶν οἰκείων ἀρχῶν διαλέγεται, διὰ τὸ τὰς ἀρχὰς
καὶ τὰς θέσεις ἀναποδείκτους εἶναι. Σὺ δὲ τολμᾷς ἐπιχειρεῖν ἀποδεῖξαι τῇ
ἑαυτοῦ ἐπιστήμῃ τὴν ἀρχὴν τῶν ἀρχῶν καὶ τῶν αἰτιῶν τὴν αἰτίαν. Δῆλον
ἄρα τὸ λῆγον καὶ ὅστις εἶ καὶ οἷος αὐτός. Τί δὴ σοὶ βούλεται τὸ τρίτον καὶ
εἰδικόν, παρέντι τὸ τελικόν; Ἆρ' ἦν ὅτε οὐκ ἦν εἰδοπεποιημένος ὁ λόγος
καὶ εἵνεκα τοῦδε ὕστερον χρονικῶς γε εἰδοποιήθη ἢ ἀεὶ καὶ ἀϊδίως ἦν
εἰδοπεποιημένος; Ἑλοῦ δυοῖν θάτερον, ἢ τὸ ἦν ὅτε οὐκ ἦν, ἢ τὸ ἀεὶ εἶναι
καὶ ἀϊδίως. Εἰ μὲν οὖν ἦν ὅτε οὐκ ἦν καὶ ὕστερον εἰδοποιήθη γενόμενον
κτίσμα, περιφανῶς εἶναι λέγεις τὸν ἄκτιστον. Εἰ δ' ἀεὶ ἦν καὶ ἔστι καὶ
ἔσται, κενός σου ὁ λόγος, ὁ μηδὲ λόγος ἀλλ' ἄλογος. Τί γὰρ παθών, ὦγαθέ,
τὸ ὑπὲρ πᾶν εἶδος εἰδοπεποιημένον εἰδοποιεῖς, τὸ πάντα εἰδοποιοῦν καὶ οὗ
67r ἄνευ μηδὲν τῶν ἐν τοῖς οὖσιν εἶδος οὐ δυνατὸν | ὑποστῆναι αὐτό; καὶ γάρ
ἐστι τῶν ὄντων παραγωγόν, μορφωτικόν, δημιουργὸν καὶ τῆς ὕλης προϋπαρ-
χούσης κατὰ τοὺς ἔξωθεν καὶ αἴτιον τοῦ τέλους διὰ τὸ ἕνεκά του. οὗ δὲ
ἕνεκα λέγων φημὶ τὴν ἄνω τοῦ κόσμου συμπλήρωσιν. Πῶς δ' ἂν γένοιτο καὶ
ἀλλῇ πῃ ὁ αὐτὸς γεννητός τε καὶ εἶδος τῆς γεννήσεως τῆς αὐτοῦ, δέον ἄλλο-
θεν ὑφεστηκέναι τὸ εἶδος καὶ ἔξωθεν; Παντὸς γὰρ γεννητοῦ τὰ αἴτια θύρα-
θέν τε καὶ προϋπάρχοντα. Πῶς οὖν τὴν τοῦ υἱοῦ θέλων γέννησιν δεῖξαι,
νῦν μὲν ποεῖς τὸν π(ατέ)ρα ποιητικὸν αἴτιόν τε καὶ ὑλικόν, νῦν δὲ τὸν υἱὸν
εἰδικὸν αἴτιον ἑαυτοῦ; καὶ εἰ μὴ βούλει γε τελικόν, αὐτὰ αὐτῶν ὄντα καὶ
αἴτια καὶ ὑλικὰ καὶ εἰδικὰ καὶ τελικὰ καὶ ποιητικὰ καὶ πεποιημένα, κατὰ τὸν
Σκότον. Ποῦ τίθεταί σοι τὸ πνεῦμα, ὦ τέτα; Τέλος καλεῖς αὐτὸ ἢ εἶδος ἢ
ὕλην τῆς ἑαυτοῦ ἐκπορεύσεως; Ἢ τί ἂν καὶ φαίης; Ἔρροιο ἂν οἶμαι
τὸν Σκότον μελετήσας ἀναλαβών· καὶ ἀναλαβὼν ἴδοις καὶ ἰδὼν γνοίης καὶ
γνοὺς σχοίης καὶ σχὼν Σκότον ἕξεις τὸ τέλος ἐν τῇ ψυχῇ. Τὸν Σκότον δὲ ὁ
κτησάμενος εἶδεν ὅσα ὁ Σκότος. Δέδοικά σε, ὦ ἠθεῖε, μὴ προσκεῖσθαι τοῖς
67v τῶν αἱρετιζόντοιν σοφίσμασι. Τίνοιν δὲ τοῖνδε; Ἀρείῳ | καὶ Ὠριγένει, ὧν*

---

32. *Johannis Scoti, de divisione naturæ, liber tertius 1 (Migne PL, 122,619sq).*

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/10/2023 13:15:24 EEST - 167.114.118.212

ὁ μὲν ἔφη πρός τινα τῶν τοῦ Χριστοῦ ἐλλογίμων, «ὦ ἄνερ» οὕτως εἰπών, «ὄντα ὁ πατὴρ ἐγέννησε τὸν υἱὸν ἢ οὐκ ὄντα; Εἰ μὲν οὐκ ὄντα, ὅτε οὐκ ἦν καὶ οὕτω κτίσμα καὶ ὑπὸ χρόνον· εἰ δ' ὄντα, περιττὴ ἡ γέννησις καὶ οὐ γεννητός»· ἅτερος δ' ἑτέρως: «δεόμενός του ἐγέννησεν ἢ μή; εἰ μὲν δεόμενος, ἐνδεὴς ὤν, εἰ δὲ μή, οὐδ' υἱοῦ χρεία οὔτε γεννήσεως». Τούτοιν, ὦ οὗτοι, ἐοίκατε ἕπεσθαι καὶ οὔτε ξυνορᾶτε οἱ πίπτοντες ξυνωθεῖτε τοὺς μὴ εἰδότας καὶ εὐπαρύφους ἐκ τῆς ἄγαν φιλοσοφίας, οὔτε ξυνίετε ἣ βαράθρου χωροῦσιν οἱ τῆς φιλοσοφίας ὑμῶν καὶ θεολογίας δαήμονες.

4. Ξυνήκατε ὅσον Ἑλλήνων καὶ Εὐρωπαίων ἐστὶ τὸ διάφορον τῶν ἁγίων, περί τε θεολογίας καὶ τῆς ἄλλης φιλοσοφίας; οὐχ ὑπεκσταίητ' ἂν τοῖς Ἐώοις, τὸ κάλλος εὐροῦσι τῶν λόγων καὶ τὴν φιλοσοφίαν αὐτήν; Τίς τῶν Εὐρωπαίων Σωκράτους, Τιμαίου καὶ Πυθαγόρου σοφώτερος; Τίς Πλάτωνος καὶ Ἀριστοτέλους καὶ Ζήνωνος, τίς Ἡροδότῳ καὶ Θουκυδίδῃ καὶ Ξενοφῶντι τῶν Ἑσπερίων ἐφάμιλλος; Τίς Ἀντιφῶντι καὶ Ὑπερείδῃ καὶ Δημοσθένει; Τίς Ὀρφεῖ καὶ Ὁμήρῳ καὶ Στησιχόρῳ, κατὰ τὴν ποίησιν, τίς Πλωτίνῳ καὶ Πρόκλῳ καὶ Πορφυρίῳ, τίς Ἀρείῳ καὶ Ὠρι|γένει καὶ Εὐσεβίῳ, τοῖς τοῦ 68r Χριστοῦ τὸν χιτῶνα διεσχικόσι; Τίς Κυρίλλῳ καὶ Γρηγορίῳ καὶ Βασιλείῳ, τίς κατὰ τὴν πρώτην τέχνην ἴσος ἢ παραπλήσιος Ἡρωδιανῷ καὶ Ἀπολλωνίῳ καὶ Τρύφωνι; Οἶμαι ὅτι φαίητ' ἂν Κικέρωνα τὸν σοφὸν καὶ ποιητὴν τὸν Βιργίλλιον. Εἰ δ' ὁ λόγος φησὶ «**πρὸς δύο οὐδ' Ἡρακλῆς**», τίνε ἂν εἰήτην δύο πρὸς δισμυρίους; «Ἀλλ' εἰσίν» φασιν «ἡμῖν καὶ πλείους τῶν δισμυρίων». Ξύμφημι καὶ αὐτὸς καὶ οὕτως ἐξεδεχόμην ἀποκριθῆναι μοι. Πλὴν οὐ ξυνοίδατε ἑαυτοῖς ὡς Ἀθῆναι μόναι τῶν ἐν Ἑλλάδι πλείους ἂν ἐμαιώσαντο φιλοσόφους ἢ ἦσαν ἢ ἐγένοντο ἐν πάσῃ Ἰταλίᾳ. Νῦν ἡμεῖς ἐσμεν τὰ λείψανα τῶν Ἑλλήνων, ὁμολογῶ. Καὶ ὑμεῖς ξυνομολογεῖτε, οὐκ ἄκοντες. Ἰταλοὶ δὲ τὰ νῦν τὰ πρῶτα τῶν Ἰταλῶν. Πρῶτα δέ φημι λέγων καὶ λείψανα κατά γε τὸ τέλος ἢ τὴν μέσην καὶ τὴν ἀρχὴν ἢ τὸ δοῦλον καὶ τὸ ἐλεύθερον· καὶ οὕτως δὲ ἐχόντων ἡμῶν, ἔξεστιν ἰδεῖν καὶ νῦν καὶ πρότερον πάντῃ τῆς Ἰταλίας Ἕλληνας τὰ Ρωμαίων τοὺς Ἑσπερίους διδάσκοντας. Ἑσπέριον δὲ οὐδένα οὐδεὶς οὐδεπώποτε οὔτ' εἶδεν οὔτ' ἤκουσεν ἐν Ἑλλάδι τὸν Ἕλληνα λόγον διδάξαντα· οὐδὲ γὰρ οὐδὲ πλέον εἰ καὶ δυνηθεῖεν ἂν καὶ βουληθεῖεν διδάξειαν, | τοῦ ἡγεμόνος τῶν Οὔννων πᾶσαν τὴν Ἑλλάδα κατα- 68v δαρδάψαντος καὶ νῦν ἐπιχειροῦντος ἤδη καὶ τῇ Εὐρώπῃ, ὃν Θεὸς ἐξολέσειεν, ὁ δυνηθῆναι τοσοῦτον ἀφεὶς καὶ κορεσθῆναι ἐς τόδε τῶν αἱμάτων ἡμῶν. Ἀλλὰ παῦσον νῦν αὐτόν, Χ(ριστ)ὲ βασιλεῦ, στῆσον αὐτοῦ τὴν ὁρμήν,

---

2. *Theodoreti, ecclesiasticæ historiæ lib. I, 4 (Migne 82, 912).*
4. *Origenis, contra Celsum VIII, 15 (Migne PG, 11, 1558).*
20. *Parœmiographi, Græci II, 206.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/10/2023 13:15:24 EEST - 167.114.118.212

*ἀποστόμωσον τούτου καὶ δόρυ καὶ μάχαιραν· κάμφθητι, εὐσπλαχνίσθητι, διαλλάγηθι, ἔπιδε πρὸς ἡμᾶς τὴν ἀπολλυμένην πάλιν δραχμήν, ἀνακάλεσον τὸ διεσπαρμένον γένος ἡμῶν, τὸ πεπατημένον καὶ ταπεινόν. Δὸς τοῖς θεράπουσί σου τοῖς Ἑσπερίοις ὁμόνοιαν, ἰσχύν, βουλήν, προθυμίαν καὶ ἔλεον. Ἔξελε ἀφ' ἡμῶν τὸν πικρὸν δήμιον καὶ πολέμιον, δὸς ὁμονοῆσαι πᾶσι τοῖς ἐπωνύμοις σου, εἰ καὶ μὴ πρότερον δι' ἃ οἶδας, ἀλλὰ νῦν γοῦν διὰ τὸ τοὺς Θύννους ἀνυποστόλως ἀσχημονεῖν καὶ καταπατεῖν σου τὰ ἅγια, ὑβρίζοντας εἰς τὴν ἀμώμητον πίστιν καὶ τὴν ἐκκλησίαν αὐτήν, ἣν ὑπέσχου* **μηδὲ πύλας Ἅδου** *καταγωνίσασθαι. Σοὶ βούλημα, ὅταν βούλῃ, σοὶ δύναμις, ὅτε ἄξιον, σοὶ τιμή, σοὶ δόξα, σοὶ κράτος εἰς τοὺς αἰῶνας.*

---

8. *Math.* 16, 18.

Institutional Repository - Library & Information Centre - University of Thessaly
17/10/2023 13:15:24 EEST - 167.114.118.212